**ἀνομοιόστροφος**

Hephaest. 69. 10 sqq. ἀνομοιόστροφα δέ (*scil.* τὰ εἴδη) ἐστιν ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν ἢ κατὰ ἐφύμνιον ἢ κατὰ ἐπῳδὸν ἢ κατ᾽ ἄλλο τι ἀναφώνημα. διαιρεῖται δὲ ἤτοι εἰς δύο ἢ εἰς πλείω· ἐὰν μὲν οὖν εἰς δύο διαιρεθῇ, καλεῖται ἑτερόστροφον, ἐὰν δὲ εἰς πλείονα, ἀλλοιόστροφον.

Schol. in Aesch. *Prom*. 128 (p. 11 Smyth) ἡμέτερα + μηδὲν φοβηθείς] τὰ τοιαῦτα εἴδη καλεῖται ἀνομοιόστροφα. ἀνομοιόστροφα δέ ἐστιν, ὡς Ἡφαιστίων φησίν (p. 69. 10 sqq.), ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν. καὶ διαιρεῖται εἰς δύο ἢ εἰς πλείω· εἰ μὲν οὖν εἰς δύο διαιρεῖται, καλεῖται ἑτερόστροφον· εἰ δὲ εἰς πλείω, ἀλλοιόστροφον. [*B.M.*]